Κεῖνος ὑμῶν ἀντεμίσει
Τοὺς πονηροὺς ἄνδρας ἀεί.
Ταῖσι δὲ γυναιξὶν ἦν φίλτατος.
Τὴν γνάθον βούλει θένω;
Χο. γυν. Μηδαμῶς ἔδεισά γε.
Χο. γυν. Ἀλλὰ κρούσω τῷ σκέλει.
Χο. ἀν. Τὸν σάκανδρον ἐκφανεῖς.
Χο. γυν. Ἀλλ' ὅμως ἂν οὐκ ἴδοις
Καίπερ οὔσης γραὸς ὄντ' αὐ-
Τὸν κομήτην, ἀλλ' ἀπεψι-
Λωμένον τῷ λύχνῳ.

A Ille vos est exsecratus
Et malos mores virorum:
Sed mulieres amabat,
Vin' genam vt pulsem tibi?
CH. v. Non metus me contrahit.
CH. M. Crure agam tantummodò.
Vt sit Eugium patens.
CH. M. Non videbis hoc tamen
B (Etsi anus sum) nunc comans,
Sed pilus cassum, atque purè
Ad lucernam comptum.

BISETVS. Κἀγὼ βούλομαι.] ταῦτα τινὲς ἀντίστροφον εἶναι οἴονται, τῇ προηγουμένῃ στροφῇ παντελῶς ὁμοίαν, ἑνὸς μόνου στίχου, ἑνδεκάτου δηλαδὴ, μεμειωμένην, ὃν μέντοι ἀξιοπίστῳ εἰκασμῷ ἀναπληροῦσιν οὕτω γράφοντες,

Κἀγὼ βούλομαι μῦθον
Τιν' ὑμῖν ἀντιλέξαι
Τῷ Μελανίωνι.
Τίμων
Τις ἦν, ἀνίδρυτος, ἀβάτοισιν ἐν
Σκώλοισι τὸ
Πρόσωπον περιειργμένος, Ἐ-
ρινύων ἀπορρώξ.
Οὗτος οὖν ὁ Τίμων
Ὤιχεθ' ὑπὸ μίσους.
* Κοὐκέτι κατῆλθεν
Πολλὰ καταρασάμενος ἀνδράσι πονηροῖς.
Οὕτω
Κεῖνος ὑμῶν ἀντεμίσει
Τοὺς πονηροὺς ἄνδρας ἀεί.
Ταῖσι δὲ γυναιξὶν ἦν φίλτατος.

ὁρᾷς ὡς ἐν ταύτῃ τῇ γραφῇ ἡ ἀντιστροφὴ τῇ στροφῇ κατὰ πάντα καλῶς συνᾴδει. ἀλλὰ μηδὲν ἀβασανίστως κινητέον, ἄλλως τε καὶ τούτων ἀδήλων ὄντων. Τῷ Μελανίωνι] ἐντεῦθεν δῆλον καὶ ἄνω τὸ τοῦ Μελανίωνος ὄνομα ἄνευ τῆς διφθόγγου γραπτέον εἰ μὴ μέτρου χάριν οὕτω γεγράφθαι λέγοις. Τίμων.] ὁ μισάνθρωπος καλούμενος. ἦν κατάρατος. ὅν φασιν ἀπὸ ἀχράδος πεσόντα, χωλὸν γενέσθαι. μὴ προσιέμενον δὲ ἰατρὸν ἀποθανεῖν σαπέντα. καὶ μετὰ τὴν τελευτὴν αὐτοῦ τὸν τάφον ἄβατον γενέσθαι ὑπὸ θαλάσσης περιρραγέντα, καὶ ἐν ὁδῷ τῇ ἐκ Πειραιῶς εἰς Σουνίον ἀγούσῃ. ἄβατον δὲ, εἶναι ἀκάνθαις τε θριγκωμένον, καὶ σκληροῖς σκώλοισι, καὶ πατταλοῖς ἠφανισμένον. σκῶλος δὲ, εἶδος ἀκάνθης. ἢ σκάνδαλον. ἐν ἐπιγράμματι ὁ ὄνος πρὸς τὸν λύκον φησὶν,

Ἐκ μοι σκῶλον ἔρυσον, ὅ μοι κακὸν ἔμπεσεν ὁπλῇ.

ἀντὶ τοῦ σκυθρωπὸς, καὶ μισάνθρωπος. Σ. Ἀνίδρυτος.] γέγραπται καὶ αἴδρυτος, ὅπερ ταὐτὸ δηλοῖ. τουτέστιν ἀνεξίλαστος, ὡς Ἁρποκρατίων ἑρμηνεύει, ἐν τῷ Δημοσθένους κατ' Ἀριστογείτονος. λέγεται καὶ ἀνύδρευτος, ἀντὶ τοῦ ἄνευ ὕδατος. μεταφορικῶς δὲ ὁ ξηρὸς, ὁ αὐστηρὸς οὕτω κληθείη. ἀλλαχοῦ δὲ, ἀνίδρυτος, ἄστατος, ἀστήρικτος. Περιειργμένος.] περιείργειν, τὸ περικλείειν, τοὺς ἐμβάντας. ἀπορρὼξ δὲ, ἀπόσπασμα ὄρους, ἀπόρρηγμα, καὶ γένους ἀπογονή. Θένω] τύψω, πατάξω. Τὸν σάκανδρον.] σάκανδρος, παρὰ τῷ Σουίδᾳ, τὸ γυναικεῖον αἰδοῖον. σημειωτέον δὲ, ὅτι ἐν τισὶ τῶν βιβλίων διεφθαρμένως γράφεται τὸν σάκανδρ' ἐκφανεῖς. ἀλλὰ τοῦτο παρὰ τὸ μέτρον. ἔστι γὰρ τροχαϊκὸν δίμετρον καταληκτικὸν, τὸ καλούμενον Εὐριπίδειον, ἢ ληκύθιον, ὅμοιον τοῖς προηγουμένοις.

Τὴν γνάθον βούλει θένω, καὶ τοῖς ἑξῆς.

C Ἀπεψιλωμένον.] περὶ ταύτης τοῦ γυναικείου αἰδοίου ἀποψιλώσεως, διὰ πλειόνων προείρηται ἐν τῇ Ἐκκλ. ὁ δὲ νοῦς ἐστὶν. αὐτὸν τὸν σάκανδρον κομῶντα οὐκ ἴδοις ἂν ἐμοῦ καίπερ γραὸς οὔσης, ἀλλὰ τῷ λύχνῳ, καὶ τῇ τοῦ λύχνου φλογὶ καυθέντα, καὶ πάμπαν ἀπεψιλωμένον, καὶ τριχῶν ἐψιλωμένον, καὶ ἐρημωθέντα.

CHR. Ἀβάτοισιν εὐσκώλοισι.] Lego ἐν σκώλοισι, Est autem σκῶλος genus spinæ, vnde in Apologo asinus ad lupum, ait Ἐκ μοι σκῶλον ἔρυσον ὅ μοι κακὸν

D ἔμπεσεν ὁπλῇ. legendum autem αἴδρυτος vt & in Venet. edit. qua voce innuitur τὸ κακὸν καὶ ὃ οὐκ ἄλλοι αὐτοῖς οὐκ ἂν ἱδρύσαιντο. Cæterùm dicitur & σκόλος & σκόλον & σκόλοψ. Sed de vera huius loci lectione dubitandum non est, Nam apud Sudam sic hunc locum explanatum reperio, τίμων τὶς ἀνίδρυτος ἀβάτοις ἐν σκώλοισι περιειργμένος, &c. Quē ait à pyro arbore lapsum, claudum fuisse, & mortuum ex putredine, cùm medicos nō admitteret, post mortem inaccessum fuisse locum, circúmque à mari ruptum, ἄβατον inquit ὄντα ἀκάνθαις τεθριγκωμένον καὶ σκληροῖς σκόλοψι καὶ παττάλοις ἠφανισμένον.

E Ita erat σκυθρωπὸς & μισάνθρωπος. Hunc porrò secundum chorum mulierum, qui volet poterit reducere ad modos superioris chori virorum, & fortassis fecerat Comicus noster. Μηδαμῶς ἔδεισά γε.] In Venet. edit. habes σ' ἔδεισά γε. Dubium autē mihi est, num post μηδαμῶς distinguendum sit, vt dicat, Minimè gentium, te enim metuo. Τὸν σάκανδρ' ἐκφανεῖς] Lego τὸν σάκανδρον, nam Trochaici sunt versiculi, Est autem σάκανδρος, γυναικεῖον αἰδοῖον. Hesychius σάκαν vocat. Ἀλλ' ἀπεψιλωμένον τῷ λύχνῳ] Hoc graphicè admodum depingit

F initio statim Concionatricum, & propriè est quod dixit Laberius cum Cano Eugio puellitarier. Nā Eugium vt Græcis εὐδίαιον pars illa est inter muliebria naturalia. Ad eas partes purgandas Psilothro vtebantur, itaque dixit ἀπεψιλωμένον, nam hirsutam illam specum & pilis armatam, quasi velitem faciebant & ψιλὴν curiosa conlucatione densæ & nigræ istius segetis. Sed ohe dicamus &

G huic fumo lucem dare desinamus.

ΛΥΣΙΣΤΡΑΤΗ, ΓΥΝΗ ΤΙΣ, Ἄλλη Γυνὴ, Μυρρίνη.

LVSISTRATA, MVLIER QVÆdam, Altera mulier, Murrina.